# Πρὸς Τιμόθεον Β

Παῦλος, ἀπόστολος Ἰησοῦ χριστοῦ διὰ θελήματος θεοῦ, κατʼ 1
ἐπαγγελίαν ζωῆς τῆς ἐν χριστῷ Ἰησοῦ, Τιμοθέῳ[1] ἀγαπητῷ τέκνῳ: 2
χάρις, ἔλεος,[2] εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ χριστοῦ Ἰησοῦ τοῦ κυρίου
ἡμῶν.

Χάριν ἔχω τῷ θεῷ, ᾧ λατρεύω[3] ἀπὸ προγόνων[4] ἐν καθαρᾷ[5] συνειδήσει, 3
ὡς ἀδιάλειπτον[6] ἔχω τὴν περὶ σοῦ μνείαν[7] ἐν ταῖς δεήσεσίν[8] μου
νυκτὸς καὶ ἡμέρας, ἐπιποθῶν[9] σε ἰδεῖν, μεμνημένος[10] σου τῶν 4
δακρύων,[11] ἵνα χαρᾶς πληρωθῶ, ὑπόμνησιν[12] λαμβάνων τῆς ἐν σοὶ 5
ἀνυποκρίτου[13] πίστεως, ἥτις ἐνῴκησεν[14] πρῶτον ἐν τῇ μάμμῃ[15] σου
Λωΐδι[16] καὶ τῇ μητρί σου Εὐνίκῃ,[17] πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. Διʼ 6
ἣν αἰτίαν[18] ἀναμιμνῄσκω[19] σε ἀναζωπυρεῖν[20] τὸ χάρισμα[21] τοῦ θεοῦ, ὅ
ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως[22] τῶν χειρῶν μου. Οὐ γὰρ ἔδωκεν 7
ἡμῖν ὁ θεὸς πνεῦμα δειλίας,[23] ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ
σωφρονισμοῦ.[24] Μὴ οὖν ἐπαισχυνθῇς[25] τὸ μαρτύριον[26] τοῦ κυρίου 8
ἡμῶν, μηδὲ ἐμὲ τὸν δέσμιον[27] αὐτοῦ: ἀλλὰ συγκακοπάθησον[28] τῷ
εὐαγγελίῳ κατὰ δύναμιν θεοῦ, τοῦ σώσαντος ἡμᾶς καὶ καλέσαντος 9

[1] Τιμόθεος, ου, ὁ, Timothy. [2] ἔλεος, ους, ὁ, pity, mercy. [3] λατρεύω, serve, worship. [4] πρόγονος, ου, ὁ, parents, forefathers. [5] καθαρός, clean, pure. [6] ἀδιάλειπτος, unceasing, constant. [7] μνεία, ας, ἡ, remembrance, mention. [8] δέησις, εως, ἡ, entreaty, prayer. [9] ἐπιποθέω, long for, strain after. [10] μιμνήσκομαι, remember, recall. [11] δάκρυον, ου, τό, teardrop, a tear. [12] ὑπόμνησις, εως, ἡ, reminding, reminder. [13] ἀνυπόκριτος, sincere, without hypocrisy. [14] ἐνοικέω, dwell in, am settled in. [15] μάμμη, ης, ἡ, grandmother. [16] Λωΐς, ΐδος, ἡ, Lois. [17] Εὐνίκη, ης, ἡ, Eunice. [18] αἰτία, ας, ἡ, cause, reason. [19] ἀναμιμνήσκω, remind, remember. [20] ἀναζωπυρέω, rekindle, kindle afresh. [21] χάρισμα, τος, τό, gift, undeserved favor. [22] ἐπίθεσις, εως, ἡ, laying on, assault. [23] δειλία, ας, ἡ, cowardice, timidity. [24] σωφρονισμός, οῦ, ὁ, self discipline, sound judgment. [25] ἐπαισχύνομαι, be ashamed, am ashamed. [26] μαρτύριον, ου, τό, testimony, witness. [27] δέσμιος, ου, ὁ, prisoner, one bound. [28] συγκακοπαθέω, suffer together with someone.

κλήσει[1] ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ’ ἰδίαν πρόθεσιν[2] καὶ
χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων, 10
φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας[3] τοῦ σωτῆρος[4] ἡμῶν Ἰησοῦ
χριστοῦ, καταργήσαντος[5] μὲν τὸν θάνατον, φωτίσαντος[6] δὲ ζωὴν καὶ
ἀφθαρσίαν[7] διὰ τοῦ εὐαγγελίου, εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ[8] καὶ 11
ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν. Δι’ ἣν αἰτίαν[9] καὶ ταῦτα πάσχω, 12
ἀλλ’ οὐκ ἐπαισχύνομαι·[10] οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι ὅτι
δυνατός ἐστιν τὴν παραθήκην[11] μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν.
Ὑποτύπωσιν[12] ἔχε ὑγιαινόντων[13] λόγων ὧν παρ’ ἐμοῦ ἤκουσας, ἐν 13
πίστει καὶ ἀγάπῃ τῇ ἐν χριστῷ Ἰησοῦ. Τὴν καλὴν παραθήκην[11] 14
φύλαξον διὰ πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος[14] ἐν ἡμῖν.

Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν[15] με πάντες οἱ ἐν τῇ Ἀσίᾳ,[16] ὧν ἐστὶν 15
Φύγελος[17] καὶ Ἑρμογένης.[18] Δῴη ἔλεος[19] ὁ κύριος τῷ Ὀνησιφόρου[20] 16
οἴκῳ· ὅτι πολλάκις[21] με ἀνέψυξεν,[22] καὶ τὴν ἅλυσίν[23] μου οὐκ
ἐπαισχύνθη,[10] ἀλλὰ γενόμενος ἐν Ῥώμῃ,[24] σπουδαιότερον[25] ἐζήτησέν 17
με καὶ εὗρεν – δῴη αὐτῷ ὁ κύριος εὑρεῖν ἔλεος[19] παρὰ κυρίου ἐν 18
ἐκείνῃ τῇ ἡμέρᾳ – καὶ ὅσα ἐν Ἐφέσῳ[26] διηκόνησεν, βέλτιον[27] σὺ
γινώσκεις.

[1] κλῆσις, εως, ἡ, (divine) call, invitation. [2] πρόθεσις, εως, ἡ, setting forth, purpose. [3] ἐπιφάνεια, ας, ἡ, appearance, appearing. [4] σωτήρ, ῆρος, ὁ, savior, deliverer. [5] καταργέω, make ineffective, abolish. [6] φωτίζω, give light, enlighten. [7] ἀφθαρσία, ας, ἡ, incorruptibility, immortality. [8] κῆρυξ, υκος, ὁ, herald, preacher. [9] αἰτία, ας, ἡ, cause, reason. [10] ἐπαισχύνομαι, be ashamed, am ashamed. [11] παραθήκη, ης, ἡ, deposit or trust. [12] ὑποτύπωσις, εως, ἡ, prototype, standard. [13] ὑγιαίνω, be in good health, am well. [14] ἐνοικέω, dwell in, am settled in. [15] ἀποστρέφω, turn away, turn back. [16] Ἀσία, ας, ἡ, Asia. [17] Φύγελος, ου, ὁ, Phygelus. [18] Ἑρμογένης, ους, ὁ, Hermogenes. [19] ἔλεος, ους, ὁ, pity, mercy. [20] Ὀνησίφορος, ου, ὁ, Onesiphorus. [21] πολλάκις, often, many times. [22] ἀναψύχω, refresh, revive. [23] ἅλυσις, εως, ἡ, chain. [24] ῥώμη, ης, ἡ, Rome, strength. [25] σπουδαῖος, diligent, earnest. [26] Ἔφεσος, ου, ἡ, Ephesus. [27] βελτίων, better.

Σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ[1] ἐν τῇ χάριτι τῇ ἐν χριστῷ Ἰησοῦ. Καὶ ἃ **2**
ἤκουσας παρ’ ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου[2] πιστοῖς
ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. Σὺ οὖν 3
κακοπάθησον[3] ὡς καλὸς στρατιώτης[4] Ἰησοῦ χριστοῦ. Οὐδεὶς 4
στρατευόμενος[5] ἐμπλέκεται[6] ταῖς τοῦ βίου[7] πραγματείαις,[8] ἵνα τῷ
στρατολογήσαντι[9] ἀρέσῃ.[10] Ἐὰν δὲ καὶ ἀθλῇ[11] τις, οὐ στεφανοῦται[12] 5
ἐὰν μὴ νομίμως[13] ἀθλήσῃ.[11] Τὸν κοπιῶντα[14] γεωργὸν[15] δεῖ πρῶτον 6
τῶν καρπῶν μεταλαμβάνειν.[16] Νόει[17] ἃ λέγω· δῴη γάρ σοι ὁ κύριος 7
σύνεσιν[18] ἐν πᾶσιν. Μνημόνευε[19] Ἰησοῦν χριστὸν ἐγηγερμένον ἐκ 8
νεκρῶν, ἐκ σπέρματος Δαυίδ, κατὰ τὸ εὐαγγέλιόν μου· ἐν ᾧ 9
κακοπαθῶ[3] μέχρι[20] δεσμῶν,[21] ὡς κακοῦργος·[22] ἀλλ’ ὁ λόγος τοῦ θεοῦ
οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω[23] διὰ τοὺς ἐκλεκτούς,[24] ἵνα καὶ 10
αὐτοὶ σωτηρίας τύχωσιν[25] τῆς ἐν χριστῷ Ἰησοῦ, μετὰ δόξης αἰωνίου. 11
Πιστὸς ὁ λόγος· εἰ γὰρ συναπεθάνομεν,[26] καὶ συζήσομεν·[27] εἰ 12
ὑπομένομεν,[23] καὶ συμβασιλεύσομεν·[28] εἰ ἀρνούμεθα, κἀκεῖνος[29]
ἀρνήσεται ἡμᾶς· εἰ ἀπιστοῦμεν,[30] ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι 13
ἑαυτὸν οὐ δύναται.

[1] ἐνδυναμόω, strengthen, empower. [2] παρατίθημι, set before, entrust. [3] κακοπαθέω, suffer hardship, misfortune. [4] στρατιώτης, ου, ὁ, soldier. [5] στρατεύομαι, make war, hence to serve as a soldier. [6] ἐμπλέκω, enfold, entangle. [7] βίος, ου, ὁ, life, manner of life. [8] πραγματεία, ἡ, activity, occupation. [9] στρατολογέω, enlist soldiers, enlist troops. [10] ἀρέσκω, please, serve. [11] ἀθλέω, compete. [12] στεφανόω, crown, reward. [13] νομίμως, rightly, lawfully. [14] κοπιάω, toil, labor. [15] γεωργός, οῦ, ὁ, farmer, worker of the soil. [16] μεταλαμβάνω, partake of, share. [17] νοέω, understand, consider. [18] σύνεσις, εως, ἡ, understanding, insight. [19] μνημονεύω, remember, make mention of. [20] μέχρι, until, as far as (gen). [21] δεσμός, οῦ, ὁ, chain, bond. [22] κακοῦργος, ου, ὁ, criminal. [23] ὑπομένω, tarry, endure. [24] ἐκλεκτός, chosen, elect. [25] τυγχάνω, obtain, happen. [26] συναποθνήσκω, die with, die together with. [27] συζάω, live with, live together with. [28] συμβασιλεύω, rule (as king) with someone. [29] κἀκεῖνος, and he, and she. [30] ἀπιστέω, disbelieve, be faithless.

Ταῦτα ὑπομίμνῃσκε,[1] διαμαρτυρόμενος[2] ἐνώπιον τοῦ κυρίου μὴ 14
λογομαχεῖν[3] εἰς οὐδὲν χρήσιμον,[4] ἐπὶ καταστροφῇ[5] τῶν ἀκουόντων. 15
Σπούδασον[6] σεαυτὸν δόκιμον[7] παραστῆσαι τῷ θεῷ, ἐργάτην[8]
ἀνεπαίσχυντον,[9] ὀρθοτομοῦντα[10] τὸν λόγον τῆς ἀληθείας. Τὰς δὲ 16
βεβήλους[11] κενοφωνίας[12] περιΐστασο·[13] ἐπὶ πλεῖον γὰρ προκόψουσιν[14]
ἀσεβείας,[15] καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα[16] νομὴν[17] ἕξει· ὧν ἐστὶν 17
Ὑμέναιος[18] καὶ Φιλητός·[19] οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν,[20] 18
λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι, καὶ ἀνατρέπουσιν[21] τήν
τινων πίστιν. Ὁ μέντοι[22] στερεὸς[23] θεμέλιος[24] τοῦ θεοῦ ἕστηκεν, ἔχων 19
τὴν σφραγῖδα[25] ταύτην, Ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ, καί,
Ἀποστήτω[26] ἀπὸ ἀδικίας[27] πᾶς ὁ ὀνομάζων[28] τὸ ὄνομα κυρίου. Ἐν 20
μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστιν μόνον σκεύη[29] χρυσᾶ[30] καὶ ἀργυρᾶ,[31] ἀλλὰ
καὶ ξύλινα[32] καὶ ὀστράκινα,[33] καὶ ἃ μὲν εἰς τιμήν, ἃ δὲ εἰς ἀτιμίαν.[34] 21
Ἐὰν οὖν τις ἐκκαθάρῃ[35] ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος[29] εἰς τιμήν,
ἡγιασμένον,[36] καὶ εὔχρηστον[37] τῷ δεσπότῃ,[38] εἰς πᾶν ἔργον ἀγαθὸν
ἡτοιμασμένον. Τὰς δὲ νεωτερικὰς[39] ἐπιθυμίας φεῦγε·[40] δίωκε δὲ 22
δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην, μετὰ τῶν ἐπικαλουμένων τὸν
κύριον ἐκ καθαρᾶς[41] καρδίας. Τὰς δὲ μωρὰς[42] καὶ ἀπαιδεύτους[43] 23

[1] ὑπομιμνῄσκω, remind, remember. [2] διαμαρτύρομαι, testify solemnly. [3] λογομαχέω, dispute about words. [4] χρήσιμος, useful, beneficial. [5] καταστροφή, ῆς, ἡ, ruin, destruction. [6] σπουδάζω, hasten, be eager. [7] δόκιμος, tested, approved. [8] ἐργάτης, ου, ὁ, workman, laborer. [9] ἀνεπαίσχυντος, unashamed, not needing to be ashamed. [10] ὀρθοτομέω, use or interpret correctly. [11] βέβηλος, worldly, profane. [12] κενοφωνία, ας, ἡ, chatter, empty talk. [13] περιΐστημι, stand around, avoid. [14] προκόπτω, proceed, advance. [15] ἀσέβεια, ας, ἡ, ungodliness, impiety. [16] γάγγραινα, ης, ἡ, gangrene, cancer. [17] νομή, ῆς, ἡ, pasture, spreading. [18] Ὑμέναιος, ου, ὁ, Hymenaeus. [19] Φίλητος, ου, ὁ, Philetus. [20] ἀστοχέω, miss the mark, go astray. [21] ἀνατρέπω, overturn, upset. [22] μέντοι, yet, however. [23] στερεός, hard, firm. [24] θεμέλιος, ου, ὁ, foundation. [25] σφραγίς, ῖδος, ἡ, seal, signet ring. [26] ἀφίστημι, withdraw, depart. [27] ἀδικία, ας, ἡ, unrighteousness. [28] ὀνομάζω, name, give a name to. [29] σκεῦος, ους, τό, vessel, goods (plural). [30] χρυσοῦς, golden. [31] ἀργυροῦς, silver, made of silver. [32] ξύλινος, wooden. [33] ὀστράκινος, made of earth or clay, made of earth. [34] ἀτιμία, ας, ἡ, dishonor, disgrace. [35] ἐκκαθαίρω, cleanse thoroughly, clean out. [36] ἁγιάζω, make holy, consecrate. [37] εὔχρηστος, useful, serviceable. [38] δεσπότης, ου, ὁ, master, lord. [39] νεωτερικός, youthful, juvenile. [40] φεύγω, flee, escape. [41] καθαρός, clean, pure. [42] μωρός, foolish, stupid. [43] ἀπαίδευτος, uninstructed, uneducated.

ζητήσεις[1] παραιτοῦ,[2] εἰδὼς ὅτι γεννῶσιν μάχας.[3] Δοῦλον δὲ κυρίου 24
οὐ δεῖ μάχεσθαι,[4] ἀλλ' ἤπιον[5] εἶναι πρὸς πάντας, διδακτικόν,[6]
ἀνεξίκακον,[7] ἐν πρᾳότητι[8] παιδεύοντα[9] τοὺς ἀντιδιατιθεμένους:[10] 25
μήποτε[11] δῷ αὐτοῖς ὁ θεὸς μετάνοιαν[12] εἰς ἐπίγνωσιν[13] ἀληθείας, καὶ 26
ἀνανήψωσιν[14] ἐκ τῆς τοῦ διαβόλου παγίδος,[15] ἐζωγρημένοι[16] ὑπ'
αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.

Τοῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται[17] καιροὶ **3**
χαλεποί.[18] Ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι,[19] φιλάργυροι,[20] 2
ἀλαζόνες,[21] ὑπερήφανοι,[22] βλάσφημοι,[23] γονεῦσιν[24] ἀπειθεῖς,[25]
ἀχάριστοι,[26] ἀνόσιοι,[27] ἄστοργοι,[28] ἄσπονδοι,[29] διάβολοι, ἀκρατεῖς,[30] 3
ἀνήμεροι,[31] ἀφιλάγαθοι,[32] προδόται,[33] προπετεῖς,[34] τετυφωμένοι,[35] 4
φιλήδονοι[36] μᾶλλον ἢ φιλόθεοι,[37] ἔχοντες μόρφωσιν[38] εὐσεβείας,[39] τὴν 5
δὲ δύναμιν αὐτῆς ἠρνημένοι: καὶ τούτους ἀποτρέπου.[40] Ἐκ τούτων 6
γάρ εἰσιν οἱ ἐνδύνοντες[41] εἰς τὰς οἰκίας, καὶ αἰχμαλωτεύοντες[42]
γυναικάρια[43] σεσωρευμένα[44] ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις
ποικίλαις,[45] πάντοτε μανθάνοντα,[46] καὶ μηδέποτε[47] εἰς ἐπίγνωσιν[13] 7
ἀληθείας ἐλθεῖν δυνάμενα. Ὃν τρόπον[48] δὲ Ἰαννῆς[49] καὶ Ἰαμβρῆς[50] 8

[1] ζήτησις, εως, ἡ, debate, controversy. [2] παραιτέομαι, make excuse, refuse. [3] μάχη, ης, ἡ, fight, conflict. [4] μάχομαι, fight, quarrel. [5] ἤπιος, gentle, mild. [6] διδακτικός, able to teach, apt to teach. [7] ἀνεξίκακος, patient, tolerant. [8] πραΰτης, mildness, gentleness. [9] παιδεύω, teach, educate. [10] ἀντιδιατίθεμαι, oppose. [11] μήποτε, never, lest perchance. [12] μετάνοια, ας, ἡ, repentance, change of mind. [13] ἐπίγνωσις, εως, ἡ, knowledge, discernment. [14] ἀνανήφω, regain one's senses. [15] παγίς, ίδος, ἡ, trap, snare. [16] ζωγρέω, capture alive. [17] ἐνίστημι, be present, place in or upon. [18] χαλεπός, hard, difficult. [19] φίλαυτος, loving oneself, selfish. [20] φιλάργυρος, fond of money, avaricious. [21] ἀλαζών, ονος, ὁ, impostar, boaster. [22] ὑπερήφανος, arrogant, haughty. [23] βλάσφημος, blasphemous, slanderous. [24] γονεύς, έως, ὁ, parent. [25] ἀπειθής, disobedient, unbelieving. [26] ἀχάριστος, ungrateful. [27] ἀνόσιος, unholy, regarding nothing as holy. [28] ἄστοργος, without natural affection, unfeeling. [29] ἄσπονδος, irreconcilable, implacable. [30] ἀκρατής, without self-control, dissolute. [31] ἀνήμερος, savage, brutal. [32] ἀφιλάγαθος, without love of good. [33] προδότης, ου, ὁ, betrayer, traitor. [34] προπετής, rash, reckless. [35] τυφόω, puff up, make haughty. [36] φιλήδονος, loving pleasure, pleasure loving. [37] φιλόθεος, God loving, loving God. [38] μόρφωσις, εως, ἡ, embodiment, form. [39] εὐσέβεια, ας, ἡ, godliness, piety. [40] ἀποτρέπω, turn away from, shun. [41] ἐνδύνω, slip in, clothe. [42] αἰχμαλωτεύω, capture, lead captive. [43] γυναικάριον, ου, τό, little, idle or foolish woman. [44] σωρεύω, heap up, weigh down with. [45] ποικίλος, varied, manifold. [46] μανθάνω, learn, ascertain. [47] μηδέποτε, never, not at any time. [48] τρόπος, ου, ὁ, manner, way. [49] Ἰάννης, ὁ, Jannes. [50] Ἰαμβρῆς, ὁ, Jambres.

ἀντέστησαν[1] Μωϋσῇ, οὕτως καὶ οὗτοι ἀνθίστανται[1] τῇ ἀληθείᾳ,
ἄνθρωποι κατεφθαρμένοι[2] τὸν νοῦν,[3] ἀδόκιμοι[4] περὶ τὴν πίστιν. 9
Ἀλλ’ οὐ προκόψουσιν[5] ἐπὶ πλεῖον: ἡ γὰρ ἄνοια[6] αὐτῶν ἔκδηλος[7]
ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο. Σὺ δὲ παρηκολούθηκάς[8] μου 10
τῇ διδασκαλίᾳ,[9] τῇ ἀγωγῇ,[10] τῇ προθέσει,[11] τῇ πίστει, τῇ μακροθυμίᾳ,
τῇ ἀγάπῃ, τῇ ὑπομονῇ, τοῖς διωγμοῖς,[13] τοῖς παθήμασιν,[14] οἷά[15] μοι 11
ἐγένετο ἐν Ἀντιοχείᾳ,[16] ἐν Ἰκονίῳ,[17] ἐν Λύστροις,[18] οἵους[15] διωγμοὺς[13]
ὑπήνεγκα:[19] καὶ ἐκ πάντων με ἐρρύσατο[20] ὁ κύριος. Καὶ πάντες δὲ οἱ 12
θέλοντες εὐσεβῶς[21] ζῇν ἐν χριστῷ Ἰησοῦ διωχθήσονται. Πονηροὶ δὲ 13
ἄνθρωποι καὶ γόητες[22] προκόψουσιν[5] ἐπὶ τὸ χεῖρον,[23] πλανῶντες καὶ
πλανώμενοι. Σὺ δὲ μένε ἐν οἷς ἔμαθες[24] καὶ ἐπιστώθης,[25] εἰδὼς παρὰ 14
τίνος ἔμαθες,[24] καὶ ὅτι ἀπὸ βρέφους[26] τὰ ἱερὰ γράμματα[27] οἶδας, τὰ 15
δυνάμενά σε σοφίσαι[28] εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν χριστῷ
Ἰησοῦ. Πᾶσα γραφὴ θεόπνευστος[29] καὶ ὠφέλιμος[30] πρὸς διδασκαλίαν, 16
πρὸς ἔλεγχον,[31] πρὸς ἐπανόρθωσιν,[32] πρὸς παιδείαν[33] τὴν ἐν
δικαιοσύνῃ: ἵνα ἄρτιος[34] ᾖ ὁ τοῦ θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον 17
ἀγαθὸν ἐξηρτισμένος.[35]

[1] ἀνθίστημι, resist, oppose. [2] καταφθείρω, destroy, ruin. [3] νοῦς, ὁ, mind, reasoning faculty. [4] ἀδόκιμος, not passing the test, rejected. [5] προκόπτω, proceed, advance. [6] ἄνοια, ας, ἡ, folly, foolishness. [7] ἔκδηλος, clearly evident, obvious. [8] παρακολουθέω, follow closely, investigate. [9] διδασκαλία, ας, ἡ, teaching, doctrine. [10] ἀγωγή, ῆς, ἡ, way of life, conduct. [11] πρόθεσις, εως, ἡ, setting forth, purpose. [12] μακροθυμία, ας, ἡ, long-suffering, patience. [13] διωγμός, οῦ, ὁ, persecution. [14] πάθημα, τος, τό, suffering, passion. [15] οἷος, such as, of what kind. [16] Ἀντιόχεια, ας, ἡ, Antioch. [17] Ἰκόνιον, ου, τό, Iconium. [18] Λύστρα, ἡ, Lystra, city of Lycaonia. [19] ὑποφέρω, endure, bear up under. [20] ῥύομαι, rescue, save. [21] εὐσεβῶς, in a godly manner, piously. [22] γόης, ητος, ὁ, swindler, cheat. [23] χείρων, worse. [24] μανθάνω, learn, ascertain. [25] πιστόω, convince, give assurance to. [26] βρέφος, ους, τό, unborn or a newborn child, baby. [27] γράμμα, τος, τό, letter, writings. [28] σοφίζω, make wise, devise craftily. [29] θεόπνευστος, inspired by God, God-breathed. [30] ὠφέλιμος, useful, profitable. [31] ἔλεγχος, ου, ὁ, proof, conviction. [32] ἐπανόρθωσις, εως, ἡ, improvement, correction. [33] παιδεία, ας, ἡ, training, discipline. [34] ἄρτιος, complete, adequate. [35] ἐξαρτίζω, finish, complete.

Διαμαρτύρομαι[1] οὖν ἐγὼ ἐνώπιον τοῦ θεοῦ, καὶ τοῦ κυρίου Ἰησοῦ **4**
χριστοῦ, τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς, κατὰ τὴν
ἐπιφάνειαν[2] αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ, κήρυξον τὸν λόγον, 2
ἐπίστηθι[3] εὐκαίρως,[4] ἀκαίρως,[5] ἔλεγξον,[6] ἐπιτίμησον, παρακάλεσον,
ἐν πάσῃ μακροθυμίᾳ[7] καὶ διδαχῇ. Ἔσται γὰρ καιρὸς ὅτε τῆς 3
ὑγιαινούσης[8] διδασκαλίας[9] οὐκ ἀνέξονται,[10] ἀλλὰ κατὰ τὰς ἐπιθυμίας
τὰς ἰδίας ἑαυτοῖς ἐπισωρεύσουσιν[11] διδασκάλους, κνηθόμενοι[12] τὴν
ἀκοήν:[13] καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν[13] ἀποστρέψουσιν,[14] ἐπὶ 4
δὲ τοὺς μύθους[15] ἐκτραπήσονται.[16] Σὺ δὲ νῆφε[17] ἐν πᾶσιν, 5
κακοπάθησον,[18] ἔργον ποίησον εὐαγγελιστοῦ,[19] τὴν διακονίαν σου
πληροφόρησον.[20] Ἐγὼ γὰρ ἤδη σπένδομαι,[21] καὶ ὁ καιρὸς τῆς ἐμῆς 6
ἀναλύσεως[22] ἐφέστηκεν.[3] Τὸν ἀγῶνα[23] τὸν καλὸν ἠγώνισμαι,[24] τὸν 7
δρόμον[25] τετέλεκα,[26] τὴν πίστιν τετήρηκα: λοιπόν, ἀπόκειταί[27] μοι ὁ 8
τῆς δικαιοσύνης στέφανος,[28] ὃν ἀποδώσει μοι ὁ κύριος ἐν ἐκείνῃ τῇ
ἡμέρᾳ, ὁ δίκαιος κριτής:[29] οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσιν τοῖς
ἠγαπηκόσιν τὴν ἐπιφάνειαν[2] αὐτοῦ.

[1] διαμαρτύρομαι, testify solemnly. [2] ἐπιφάνεια, ας, ἡ, appearance, appearing. [3] ἐφίστημι, stand over, come upon. [4] εὐκαίρως, in season, conveniently. [5] ἀκαίρως, untimely, unseasonably. [6] ἐλέγχω, convict, reprove. [7] μακροθυμία, ας, ἡ, long-suffering, patience. [8] ὑγιαίνω, be in good health, am well. [9] διδασκαλία, ας, ἡ, teaching, doctrine. [10] ἀνέχομαι, endure, bear with. [11] ἐπισωρεύω, heap up, accumulate. [12] κνήθω, rub, tickle. [13] ἀκοή, ῆς, ἡ, hearing, report. [14] ἀποστρέφω, turn away, turn back. [15] μῦθος, ου, ὁ, fable, myth. [16] ἐκτρέπω, turn aside, wander. [17] νήφω, be sober, abstain from wine. [18] κακοπαθέω, suffer hardship, misfortune. [19] εὐαγγελιστής, οῦ, ὁ, evangelist, bringer of good tidings. [20] πληροφορέω, fulfill, accomplish fully. [21] σπένδω, pour out as a libation. [22] ἀνάλυσις, εως, ἡ, departure, departing. [23] ἀγών, ῶνος, ὁ, struggle, fight. [24] ἀγωνίζομαι, contend, struggle. [25] δρόμος, ου, ὁ, course, race. [26] τελέω, finish, fulfill. [27] ἀπόκειμαι, be laid up, put away. [28] στέφανος, ου, ὁ, crown, garland. [29] κριτής, ου, ὁ, judge.

Σπούδασον[1] ἐλθεῖν πρός με ταχέως·[2] Δημᾶς[3] γάρ με ἐγκατέλιπεν,[4] 9
ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην·[5]
Κρήσκης[6] εἰς Γαλατίαν,[7] Τίτος[8] εἰς Δαλματίαν.[9] Λουκᾶς[10] ἐστὶν 11
μόνος μετ᾽ ἐμοῦ. Μάρκον[11] ἀναλαβὼν[12] ἄγε μετὰ σεαυτοῦ· ἔστιν γάρ
μοι εὔχρηστος[13] εἰς διακονίαν. Τυχικὸν[14] δὲ ἀπέστειλα εἰς Ἔφεσον.[15] 12
Τὸν φελόνην[16] ὃν ἀπέλιπον[17] ἐν Τρῳάδι[18] παρὰ Κάρπῳ,[19] ἐρχόμενος
φέρε, καὶ τὰ βιβλία, μάλιστα[20] τὰς μεμβράνας.[21] Ἀλέξανδρος[22] ὁ 14
χαλκεὺς[23] πολλά μοι κακὰ ἐνεδείξατο·[24] ἀποδῴη αὐτῷ ὁ κύριος κατὰ
τὰ ἔργα αὐτοῦ· ὃν καὶ σὺ φυλάσσου, λίαν[25] γὰρ ἀνθέστηκεν[26] τοῖς 15
ἡμετέροις[27] λόγοις. Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ[28] οὐδείς μοι 16
συμπαρεγένετο,[29] ἀλλὰ πάντες με ἐγκατέλιπον·[4] μὴ αὐτοῖς λογισθείη.
Ὁ δὲ κύριός μοι παρέστη, καὶ ἐνεδυνάμωσέν[30] με, ἵνα δι᾽ ἐμοῦ τὸ 17
κήρυγμα[31] πληροφορηθῇ,[32] καὶ ἀκούσῃ πάντα τὰ ἔθνη· καὶ ἐρρύσθην
ἐκ στόματος λέοντος.[34] Καὶ ῥύσεταί[33] με ὁ κύριος ἀπὸ παντὸς ἔργου 18
πονηροῦ, καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον·[35] ᾧ ἡ
δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[1] σπουδάζω, hasten, be eager. [2] ταχέως, quickly, soon. [3] Δημᾶς, ᾶ, ὁ, Demas. [4] ἐγκαταλείπω, leave behind, forsake. [5] Θεσσαλονίκη, ης, ἡ, Thessalonica. [6] Κρήσκης, εντος, ὁ, Crescens. [7] Γαλατία, ας, ἡ, Galatia. [8] Τίτος, ου, ὁ, Titus. [9] Δαλματία, ας, ἡ, Dalmatia. [10] Λουκᾶς, ᾶ, ὁ, Luke, Lucas. [11] Μᾶρκος, ου, ὁ, Mark. [12] ἀναλαμβάνω, take up, raise. [13] εὔχρηστος, useful, serviceable. [14] Τυχικός, οῦ, ὁ, Tychicus. [15] Ἔφεσος, ου, ἡ, Ephesus. [16] φελόνης, ου, ὁ, mantle, cloak. [17] ἀπολείπω, leave, leave behind. [18] Τρῳάς, άδος, ἡ, Troas. [19] Κάρπος, ου, ὁ, Carpus. [20] μάλιστα, especially, most of all. [21] μεμβράνα, ης, ἡ, parchment, parchment leaf. [22] Ἀλέξανδρος, ου, ὁ, Alexander. [23] χαλκεύς, έως, ὁ, coppersmith, metalworker. [24] ἐνδείκνυμι, show forth, show. [25] λίαν, greatly, very. [26] ἀνθίστημι, resist, oppose. [27] ἡμέτερος, our, our own. [28] ἀπολογία, ας, ἡ, speech in defense, verbal defense. [29] συμπαραγίνομαι, come together with, help. [30] ἐνδυναμόω, strengthen, empower. [31] κήρυγμα, τος, τό, proclamation, preaching. [32] πληροφορέω, fulfill, accomplish fully. [33] ῥύομαι, rescue, save. [34] λέων, οντος, ὁ, lion. [35] ἐπουράνιος, heavenly, celestial.

Ἄσπασαι Πρίσκαν[1] καὶ Ἀκύλαν,[2] καὶ τὸν Ὀνησιφόρου[3] οἶκον. 19
Ἔραστος[4] ἔμεινεν ἐν Κορίνθῳ·[5] Τρόφιμον[6] δὲ ἀπέλιπον[7] ἐν Μιλήτῳ[8]
ἀσθενοῦντα. Σπούδασον[9] πρὸ χειμῶνος[10] ἐλθεῖν. Ἀσπάζεταί σε 21
Εὔβουλος,[11] καὶ Πούδης,[12] καὶ Λῖνος,[13] καὶ Κλαυδία,[14] καὶ οἱ ἀδελφοὶ
πάντες.

Ὁ κύριος Ἰησοῦς χριστὸς μετὰ τοῦ πνεύματός σου. Ἡ χάρις μεθ' ὑμῶν. 22
Ἀμήν.

[1] Πρίσκα, ἡ, Prisca, Priscilla. [2] Ἀκύλας, ὁ, Aquila. [3] Ὀνησίφορος, ου, ὁ, Onesiphorus. [4] Ἔραστος, ου, ὁ, Erastus. [5] Κόρινθος, ου, ἡ, Corinth. [6] Τρόφιμος, ου, ὁ, Trophimus. [7] ἀπολείπω, leave, leave behind. [8] Μίλητος, ου, ἡ, Miletus. [9] σπουδάζω, hasten, be eager. [10] χειμών, ῶνος, ὁ, winter, storm. [11] Εὔβουλος, ου, ὁ, Eubulus. [12] Πούδης, εντος, ὁ, Pudens. [13] Λῖνος, ου, ὁ, Linus. [14] Κλαυδία, ας, ἡ, Claudia.